p. 461 e. δεινὰ μεντἂν πάθοις.

8 ἀεὶ ἀπιὼν παρὰ τοῖς Ἀθηναίοις λαμβάνεις παρρησίαν τοῦ λέγειν· πάνυ βιάζῃ ἐνταῦθα μόνος ὢν καὶ μὴ λέγων· ἐξουσίαν οὖν ἔχεις λέγειν, ἀλλ' οὐκ ἀκούσομαι· καὶ γὰρ καὶ ἐγὼ τούτου ἐξουσίαν ἔχω.

p. 462 a. ἔλεγχέ τε καὶ ἐλέγχου.

9 ὅρα πάλιν τὸ μέτριον ἦθος τοῦ φιλοσόφου καὶ ἐκ τῆς τάξεως τῶν λέξεων.

p. 462 a. φὴς γὰρ δήπου καὶ σύ.

10 οὐ δεῖ πρὸς τὸν τυχόντα ποιεῖσθαι τὰς συνουσίας· διὰ τοῦτο οὖν λέγει, ὅτι οὐκ εἶ τῶν τυχόντων, λέγεις γὰρ καὶ σὺ ἐπίστασθαι ἃ καὶ Γοργίας, ὥστε διαλέξομαί σοι.

p. 462 a. οὐκοῦν καὶ σὺ κελεύεις.

11 οὐκοῦν καὶ σὺ ἕκαστον ἐρωτᾶν σε κελεύεις, ἵνα ἀποκριθῇς πρὸς πάντα ἃ βούλεταί τις.

p. 462 b. καί μοι ἀπόκριναι.

12 ἰδοὺ προαρπάζει τὴν ἐρώτησιν.

p. 462 b. ἆρα ἐρωτᾷς.

13 ἰδοὺ ὁ Σωκράτης ὁρίζει τὸ τί καὶ φησίν· ἆρα ἐρωτᾷς με τί ἐστιν ἡ ῥητορικὴ ἢ τίς τέχνη ἐστίν. ὁ δὲ Πῶλος φησίν, ὅτι ναὶ ποία τέχνη ἐστίν, ὁ δὲ Σωκράτης φησίν, ὅτι εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν πρός σε, οὐδεμία ἔμοιγε δοκεῖ.

## XII.

### Πρᾶξις σὺν θεῷ ιβʹ.

p. 462 b. πρᾶγμα ὃ φὴς σὺ ποιῆσαι.

1 εἰρηκότος τοῦ Πώλου, ὅτι εἰπέ μοι Σώκρατες, τί ἐστιν ἡ ῥητορική, αὐτὸς ἐρώτησιν ἐρωτήσει συνῆψε καὶ εἶπεν, ὅτι οὐκ ἔστι τέχνη· ἵνα τοίνυν γνῶμεν πῶς τε τέχνη ἐστὶ καὶ πῶς οὔ σκοπήσωμεν· εἰσὶ γὰρ λόγοι κατασκευάζοντες, ὅτι

28 mg. ὅτι ἡ ῥητορικὴ τέχνη ἐστὶν ἀπόδειξις